Ad liberos etiam quod attinet, vt sit horum ortus communis, vtilitas autem peculiaris, Huius enim est educatio illius institutio.

CAPVT IIII.

PRimùm igitur legibus defenduntur vxores ne iniuria illis inferatur. Sic enim ipse maritus quoque minimè afficietur iniuria. Huc etiam lex communis deducit quemadmodum Pythagorici aiunt. Omnem iniuriæ & violentiæ opinionem abesse debere ab ea, quæ supplicis instar sit, & tanquam à foco deducta. Est autē iniuria, quam facit maritus, in consuetudine, cum extraneis. Ad vsum verò congressúmque quod attinet, ne ille desideretur præstandum est, neu propter absentiam quieti locus non sit. Sed assuescendo conciliabitur quod satis sit præsentibus & absentibus. Præclarè autem se habet & hoc Hesiodi.

*Sítque vxor, morésque discat, virgo, porbatos.*

Nam morum dissimilitudo minimè est amoris efficiens. De ornatu hoc seruetur, vt quemadmodum ineptiæ ostentationum in moribus, ita corpore quoque inter consuescendum fugiantur. Nam comta & ornata ista coniugum vita nihil differt à Tragœdorum in scena versantium ornatu.

CAPVT V.

IN facultatibus autem primum & maximè necessarium est id, quod optimum atque præstantissimum est. Is erit homo. Quapropter serui ante omnia probi sunt parandi. Horum genera sunt duo: Procurator & operarius. Quia verò cernimus iuniores disciplina modificari, necesse fuerit parare educando eos, à quibus liberales operæ exigantur. Sic autem erga seruos Dominus se geret, vt neque petulantes neque remissos esse patiatur, vtque liberalioribus aliquid honoris habeat & operariis cibi copiam præbeat. Quoniam autem vini potu etiam liberi petulantes effici solent & in multis gentibus hoc liberi quoque homines abstinent. vt in castris Carthaginienses, patet quod seruis vel nihil vini vel perquam parum cōtribuendum sit. Iam tribus propositis, opere animaduersione & cibo: Si cibus suppetat sine opera & animaduersione, ita petulātia innascitur. Inter opera verò & animaduersionem cibum nō habere, & iniustum atque violentum est, & elidit frangítque vires. Relinquitur ergo hoc, vt opera facere illi cogantur, & satis eis suppeditetur cibi. Nam non potest aliquis dominus esse corū, quibus merces nulla persoluatur.

A περὶ τέκνων, τὴν μὲν γένεσιν, κοινήν, τὴν δὲ ὠφέλειαν, ἴδιον· τῶν μὲν γὰρ, τὸ θρέψαι· τῶν δὲ, τὸ παιδεῦσαι ἐστί.

Κεφάλαιον δ.

ΠΡῶτον μὲν οὖν νόμοι πρὸς γυναῖκα, καὶ τὸ μὴ ἀδικεῖν. οὕτως γὰρ ἂν οὐδ' αὐτὸς ἀδικοῖτο. τοῦθ' ὑφηγεῖται δὲ καὶ ὁ κοινὸς νόμος, καθάπερ οἱ Πυθαγόρειοι λέγουσιν, B ὥσπερ ἱκέτιν καὶ ἀφ' ἑστίας ἠγμένην, ὡς ἥκιστα δοκεῖν ἀδικεῖν. ἀδικία δὲ ἀνδρὸς, αἱ θύραζε συνουσίαι γινόμεναι. περὶ δὲ ὁμιλίας, μήθ' ὥστε δεῖσθαι, μήθ' ὡς ἀπόντων ἀδυνατεῖν ἡσυχάζειν· ἀλλ' οὕτως ἐθίζειν ὥστε ἱκανῶς ἔχειν παρόντος καὶ μὴ παρόντος. εὖ δὲ ἔχει καὶ τὸ τοῦ Ἡσιόδου.

Παρθενικὴν δὲ γαμεῖν, ἵνα ἤθεα κεδνὰ διδάξῃς.

C αἱ γὰρ ἀνομοιότητες τῶν ἠθῶν, ἥκιστα φιλικόν. περὶ δὲ κοσμήσεως, ὥσπερ οὐδὲ τὰ ἤθη δεῖ ἀλαζονευομένοις ἀλλήλοις πλησιάζειν, οὕτως οὐδὲ τὰ σώματα· ἡ δὲ διὰ τῆς κοσμήσεως, οὐδὲν διαφέρουσά ἐστι τῆς τῶν τραγῳδῶν ἐν τῇ σκευῇ πρὸς ἀλλήλοις, ὁμιλία.

Κεφάλαιον ε.

D ΤΩΝ δὲ κτημάτων, πρῶτον μὲν καὶ ἀναγκαιότατον, τὸ βέλτιστον καὶ ἡγεμονικώτατον. τοῦτο δὲ ἦν ἄνθρωπος. διὸ δεῖ πρῶτον δούλους παρασκευάζεσθαι σπουδαίους. δούλων δὲ εἴδη δύο, ἐπίτροπος, καὶ ἐργάτης. ἐπεὶ δὲ ὁρῶμεν ὅτι αἱ παιδεῖαι ποιούς τινας ποιοῦσι τοὺς νέους, ἀναγκαῖον καὶ παρασκευασάμενον τρέφειν οἷς τὰ ἐλευθέρια E τῶν ἔργων προστακτέον. ὁμιλία δὲ πρὸς δούλους, ὡς μήτε ὑβρίζειν ἐᾶν, μήτε ἀνιέναι· καὶ τοῖς μὲν ἐλευθεριωτέροις, τιμῆς μεταδιδόναι· τοῖς δὲ ἐργάταις, τροφῆς πλῆθος. καὶ ἐπειδὴ ἡ τοῦ οἴνου πόσις καὶ τοὺς ἐλευθέρους ὑβριστὰς ποιεῖ, καὶ πολλὰ ἔθνη ἀπέχεται καὶ τῶν ἐλευθέρων, οἷον οἱ Καρχηδόνιοι ἐπὶ στρατιᾶς· φανερὸν ὅτι τούτου ἢ μηδὲν ἢ ὀλίγον μεταδοτέον. ὄντων δὲ τριῶν, ἔργου, καὶ F κολάσεως, καὶ τροφῆς, τὸ μὲν μήτε κολάζεσθαι, μήτ' ἐργάζεσθαι, τροφὴν δὲ ἔχειν, ὕβριν ἐμποιεῖ· τὸ δὲ, ἔργα μὲν ἔχειν καὶ κολάσεις, τροφὴν δὲ μή, βίαιον, καὶ ἀδυναμίαν ποιεῖ. λείπεται δὴ ἔργα παρέχειν καὶ τροφὴν ἱκανήν· ἀμίσθων γὰρ οὐχ οἷόν τε ἄρχειν·